Domini, inquit, oculus. At Afer interrogatus, quodnam ſtercus eſſet optimum? Domini, inquit, veſtigia. Inſpicientur igitur quædam ab ipſo viro, quædam ab vxore, pro eo atque diuiſa ſunt opera adminiſtrationis domeſticæ, ſuáque tributa vtrique. Atq. in exilis rei familiaris cura, hoc rarius, ſed vbi procuratores ſunt, ſæpius faciendum eſt. Bona enim imitatio eſſe ſine exemplo bona nequit, cùm cæteris in rebus, tum in procuratione. Itaque præfecti diligentes & attenti non poſſunt effici omnino ſine diligentia & attentione dominorum. Quoniam verò hęc cùm ad virtutem ſpecioſa, tum ad rei familiaris curam vtilia ſunt, debent excitari de ſomno priùs domini, quàm familia, & poſteriùs cubitum ire. Domus autem ſine cuſtodia relinquetur tanquam vrbs nullo tempore. Quæque fieri oportet, ea neque die neque noctu intermittentur. Ac noctu quidem ſurgere, minimé. Hoc enim & ad ſanitatem & rei familiaris curam, & ſtudia ſapientiæ conducit. Vbi quidem facultates ſunt exiguæ, vtilis eſt Atticorum ratio in fructibus diſponendis: in magna verò atque copioſa re, diuiſis impendiis annuis atque mẽſtruis: itémque vaſorum vſu cotidiano & rariore: ita iſta deinde præfectis tradentur. Ac poſt certum tempus etiam inſpicientur, ne ignoretur quid ſaluum ſit, & quid deſideretur. Domus verò reſpiciendo accommodanda eſt, & ad facultates, & ad ſanitatem, & ad incolentiũ iucundum vſum. Ad facultates inquam, vt cuiuſmodi conueniant fructibus & veſtimentis. Itémque fructibus aridis & humidis. Aliarúmque facultatum, quibus loca perflabilia, aut non perflabilia, nec nõ quæ ſeruis, quæ liberis, quæ mulieribus, quæ viris, quæ hoſpitibus, quæ ciuibus. Ad ſanitatem verò & iucundum vſum apta futura eſt domus æſtate ventis expoſita, & ſoli hieme. Hæc fuerit ſcilicet eiuſmodi vt Aquilonem ſpectet, & non æquali latitudine. In re familiari magna, exiſtimatur vtilis eſſe ianitor quoque ex eorum numero, qui non ſunt vtiles ad opera faciẽda, vt ſalua ſint quæ inferuntur & efferuntur. Ad expeditum verò vſum vaſorũ Laconica ratio profuerit. Nam quidque ſuo loco repoſitum eſſe debet: ſic enim cùm in promptu ſit, minimè requiretur.

A ὁ τοῦ δεσπότου ὀφθαλμός, ἔφη· ὁ δὲ Λίβυς, ἐρωτηθεὶς ποία κόπρος ἀρίστη, τὰ τοῦ δεσπότου ἴχνη, ἔφη. ἐπισκεπτέον οὖν τὰ μὲν, αὐτὸν, τὰ δὲ, τὴν γυναῖκα, ὡς ἑκατέροις διαιρεῖται τὰ ἔργα τῆς οἰκονομίας, καὶ τοῦτο ποιητέον ἐν μικραῖς οἰκονομίαις ὀλιγάκις. ἐν δὲ ἐπιτροπευομέναις, πολλάκις. οὐ γὰρ οἷόν τε, μὴ καλῶς ὑποδεικνύντος, καλῶς μιμεῖσθαι, οὔτ' ἐν τοῖς ἄλλοις, οὔτ' ἐν ἐπιτροπείᾳ· B ὡς ἀδύνατον μὴ ἐπιμελεῖ δεσποτῶν, ἐπιμελεῖς εἶναι τοὺς ἐφεστῶτας. ἐπεὶ δὲ ταῦτα καὶ καλὰ πρὸς ἀρετὴν, καὶ ὠφέλιμα πρὸς οἰκονομίαν, ἐγείρεσθαι χρὴ πρότερον δεσπότας οἰκετῶν, καὶ καθεύδειν ὕστερον· καὶ μηδέποτε ἀφύλακτον οἰκίαν εἶναι, ὥσπερ πόλιν· ὅσα τε δεῖ ποιεῖν, μήτε νυκτὸς, μήτε ἡμέρας παριέναι· τό τε διανίστασθαι νύκτωρ· τοῦτο γὰρ C καὶ πρὸς ὑγίειαν, καὶ οἰκονομίαν, καὶ φιλόσοφον, χρήσιμον. ἐν μὲν οὖν ταῖς μικραῖς κτήσεσιν ὁ Αττικὸς τρόπος τῆς διαθέσεως τῶν ἐπικαρπιῶν χρήσιμος· ἐν δὲ ταῖς μεγάλαις, διαμερισθέντων καὶ τῶν πρὸς ἐνιαυτὸν, καὶ τῶν κατὰ μῆνα δαπανωμένων. ὁμοίως δὲ καὶ περὶ σκευῶν χρήσεως τῶν καθ' ἡμέραν, καὶ τῶν ὀλιγάκις, ταῦτα παραδοτέον τοῖς ἐφεστῶσιν. ἐπὶ τούτοις καὶ τὴν ἐπίσκεψιν D αὐτῶν διά τινος χρόνου ποιητέον, ἵνα μὴ λανθάνῃ τὸ σωζόμενον καὶ τὸ ἐλλεῖπον. οἰκίαν δὲ, πρός τε τὰ κτήματα ἀποβλέποντα κατασκευαστέον, καὶ πρὸς εὐημερίαν αὐτῶν. λέγω δὲ, κτήματα μὲν, ὅτι καρποῖς καὶ ἐσθῆτι ποία συμφέρει· καὶ τῶν καρπῶν, ποία ξηροῖς, καὶ ποία ὑγροῖς· καὶ τῶν ἄλλων κτημάτων, ποία ἐμψύχοις, καὶ ποία ἀψύχοις· καὶ E δούλοις καὶ ἐλευθέροις· καὶ γυναιξὶ, καὶ ἀνδράσι· καὶ ξένοις, καὶ ἀστοῖς. καὶ πρὸς εὐημερίαν δὲ, καὶ πρὸς ὑγίειαν δεῖ εἶναι· εὔπνουν μὲν, τοῦ θέρους· εὐήλιον δὲ, τοῦ χειμῶνος. εἴη δ' ἂν ἡ τοιαύτη κατάβορρος οὖσα καὶ μὴ ἰσοπλατής. δοκεῖ δὲ ἐν ταῖς μεγάλαις οἰκονομίαις χρήσιμος εἶναι θυρωρὸς, ὃς ἂν ᾖ ἄχρηστος τῶν ἄλλων ἔργων, πρὸς σωτηρίαν F τῶν εἰσφερομένων, καὶ ἐκφερομένων. πρὸς εὐχρηστίαν δὲ σκευῶν, τὸ Λακωνικόν· χρὴ γὰρ ἂν ἕκαστον ἐν τῇ αὐτοῦ χώρᾳ κεῖσθαι. οὕτω γὰρ ἂν, ἕτοιμον ὄν, οὐ ζητοῖτο.

Quæ ſequuntur ad finẽ libri huius, ea Camerarius non ex Græco Ariſtotelis contextu tranſtulit qui pridẽ periit: ſed cùm olim Aretinus plenius (ſi credere licet) exẽplar nactus hãc particulã Latinã feciſſet, Tuſſanus poſtea in Græcũ ſermonẽ eãdẽ trãſtulit. Inde ergo habet Camer.

ΤΗΝ